Ἄδηλον.

Πλαστὸν ἔχεις τὸν ἔρωτα· φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκη.
Τοῦ δὲ φιλεῖν οὕτως, οὐδὲν ἀπιστότερον.

---

## ΕΙΣ ΚΡΙΤΑΣ, κεφ. μγ.

Ἄδηλον.

Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ῥήνῳ
Τέκνα ταλαντεύουσι, καὶ οὐ πάρος εἰσὶ τοκῆες
Πρὶν παῖν ἀθρήσωσι λελουμένον ὕδατι σεμνῷ.
Αἶψα γὰρ ἡνίκα μητρὸς ὀλισθήσας διὰ κόλπων
Νηπίαχος, πρῶτον προχέει δάκρυ, τὸν μὲν ἀείρας
Αὐτὸς ἐπ' ἀσπίδι θῆκε νέον παῖν, οὐδ' ἀλεγίζει.
Οὔπω γὰρ γνώτοιο φέρει νοῦν πρίν γ' ἐσαθρήσῃ
Κεκλεμένον λουτροῖσιν ἐλεγχιγάμου ποταμοῖο.
Ἡ δὲ μετ' εἰλείθυιαν ἐπ' ἄλγεσιν ἄλγος ἔχουσα
Μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,
Ἐκδέχεται τρομέουσα τί μήσεται ἄστατον ὕδωρ.

ΠΑΛΛΑΔΑ.

Οὐδεὶς καὶ καθαρὸν καὶ μείλιχος ἤλυθεν ἄρχων.
Ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον·
Τὸ γλυκὺ τοῦ κλέπτοντος· ὑπερφιάλου δὲ, τὸ ἁγνόν·
Ὄργανα τῆς ἀρετῆς ταῦτα δύ' ἐστὶ πάθη.

Τοῦ αὐτοῦ.

Μή ποτε δουλεύσασα γυνὴ, δέσποινα γένοιτο,
Ἐστὶ παροιμιακόν. τῷδε δ' ἔθ' ὅμοιον ἐρῶ,
Μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης,
Μηδ' ἂν Ἰσοκράτεος ῥητορικώτερος ᾖ.

Πᾶς